ΙΣΤΙ δὲ καὶ ἀπὸ τρόπων προτάσεις. καὶ τρόποι δέ εἰσι, ἀ, καλῶς, δικαίως, ὁσίως, ἀδόλως, καὶ τὰ τοιαῦτα. οἷον, ὁ δεῖνα ἀδόλως ὁμιλεῖ. ἔστι δὴ ἡ ἀπόφασις προσκειμένου τῷ τρόπῳ τοῦ ἀ, ἄτω γίνεται. ὁ δεῖνα οὐκ ἀδόλως ὁμιλεῖ. ἔστι δὲ τρόποι καὶ αὐτὰ, ἀ δυνατὸν, ἀ ἐνδεχόμενον, τὸ ἀδύνατον, τὸ ἀναγκαῖον. καὶ αἱ ὕλαι γίνονται τρόποι. εἰ μὲν γὰρ ἀ λέγονται, ὕλαι εἰσὶν (ἐμφαίνονται δὲ λεγομένων ἄλλων.) εἰ δὲ λέγονται, τρόποι. οἷον, ὁ δεῖνα ἀναγκαίως ἀναπνεῖ. ἔστι δὲ καὶ τὸ δυνατὸν, καὶ τὸ ἐνδεχόμενον πλατυκώτερον. δυνατὸν μὲν καὶ τὸ ἀναγκαῖον, καὶ τὸ ἐνδεχόμενον. ὁμοίως ἐνδεχόμενον καὶ ἀναγκαῖον, καὶ τὸ δυνατὸν γυμνάζῃ, καὶ μή. γίνονται δὴ ἐκ τούτων τῶν τεσσάρων ἑκκαίδεκα προτάσεις. τέσσαρες καταφατικαὶ ἁπλαῖ, καὶ τέσσαρες ἀποφατικαὶ ἁπλαῖ, καὶ τέσσαρες ἐκ μεταθέσεως καταφατικαί, καὶ τέσσαρες ἐκ μεταθέσεως ἀποφατικαί. ἐν ταύταις γὰρ ὁ χῶρος τῆς

ἀποφάσεως,

γαρ ἄνθρωπός ἐστι ταῦτα, ὅτι δίκαιος. ἡ δ' μηδαμῆ μηδαμῶς ὄν, ὅπερ ἐνικῶς μὲν προφέρει. πληθυντικῶς δέ, δαμῶς. τὰ δ' μηδαμῆ μὴ ὄντα, πῶς ὑποστήσωνται φῶ ἀριθμῷ; ὧδε δὲ βρέφος, δ συμβαίνει ἐν τοιαύτη θέσει, ἐπεὶ ἄνθρωπος δίκαιός ἐστι. ταῦτα δὲ τὰ πίσαρα ἡ ἀπροσδιόριστα ὄντα δυνατὸν συναληθεύειν, προσκειμένων δὲ τῶν προσδιορισμῶν, ὡς γίνεται, πᾶς ἄνθρωπος δίκαιός ἐστιν, οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι, τὶς ἄνθρωπος δίκαιός ἐστιν, οὐδεὶς ἄνθρωπος δίκαιός ἐστι. καὶ ὧδε τῶν ἐκτὸς δὲ χρόνων, τὸ μὲν ἔστιν ἀληθές, τὸ δὲ ψεῦδος, ὡς ἀντικεῖσθαι ταῦτα ἀντιφατικῶς. ἄλλαι δὲ θέσεις παρὰ ταύτας εἰσὶν, αἱ ἔχουσαι ἀόριστον τὸ προκείμενον, ἡ ὧδε τῶν ἀπροσδιορίστων, καὶ ὧδε τῶν προσδιωρισμένων. οἷον οὐκ ἄνθρωπος δίκαιός ἐστιν, οὐκ ἄνθρωπος οὐδίκαιος οὐκ ἐστιν. οὐκ ἄνθρωπος ὁ δίκαιός ἐστιν, οὐκ ἄνθρωπος ὁ δίκαιος οὐκ ἐστιν. ἡ οὐδὲις, πᾶς οὐκ ἄνθρωπος δίκαιός ἐστι, πᾶς οὐκ ἄνθρωπος δίκαιος οὐκ ἐστι. πᾶς οὐκ ἄνθρωπος οὐδίκαιός ἐστι, πᾶς οὐκ ἄνθρωπος οὐδίκαιος οὐκ ἐστι. ταυτὸν γαρ ἐστι τὸ, ὁ πᾶς ἄνθρωπος δίκαιός ἐστιν, ἢ ὁ δίκαιος, ᾧ, πᾶς ἄνθρωπος δίκαιος οὐκ ἐστιν, ἢ ὁ δίκαιος. τὸ χεῖρος δ' εἰς ἀπόφασιν τὸ ἐστιν ἔχει. κεῖται δὲ καὶ κανὼν ὧδε τῇ ἀκολουθήσει τῶν προτάσεων, ὥστε τὰ αὐτὰ λέγειν ἄλλως λέγονται. καὶ ἐστιν ὁ κανὼν τοιοῦτος, ὡς

σθαι τὸ δίκαιος, ὅ ὅτι ῥῆμα τὸ ἔ, καὶ γνίαξ ἀόριστον ῥῆμα, ὃ λέγει καὶ ἐκ μεταθέσεως ὁ φιλόσοφος, ὡς μετατιθεμένου τοῦ ἔ, εἰς κατάφασιν ἐξ ἀποφάσεως, γίνεται καὶ ἑτέρα ἀντίθεσις, ἡ ἄνθρωπος ὁ δίκαιός ὅστι, ἢ ἡ ἄνθρωπος ὁδίκαιος οὐκ ἔστιν. ὧν τὸ μὴ ὅστι κατάφασις ἐκ μεταθέσεως, τὸ δ' ἀπόφασις. καὶ γίνονται ταῦτα τέσσαρα, ἄνθρωπος δίκαιός ὅστιν, ἄνθρωπος δίκαιος οὐκ ὅστιν, ἄνθρωπος ὁ δίκαιός ὅστιν, ἄνθρωπος ὁδίκαιος οὐκ ὅστι. καὶ τὸ μὴ, ἄνθρωπος δίκαιός ὅστιν, οὐ σημαίνει τὸν ἄνθρωπον μόνον τὸν δίκαιον. ἡ δὲ τοῦτο ἀπόφασις, ἡ ἄνθρωπος δίκαιος οὐκ ὅστι, τρία σημαίνει. εἰ δὲ καὶ πρὸς τὰ μὴ ὄντα ἀθετηθείη, ἢ τέσσαρα. τόντι ἄδικον ἄνυπον, ὁ βρέφος, τὸ ξύλον, ἢ πάντα τὰ παρὰ τὸν ἄνθρωπον. ὅτι γὰρ ἄνθρωπός ὅστιν, ὅτι δίκαιος, τῶν πρότερων ἀνθρώπων ὄντων, ὁ μόνων δὲ δικαίων, ἀλλὰ τοῦ μὴ ἢ ἀδίκου, τοῦ δὲ μήτε δικαίου, μήτε ἀδίκου, καὶ αὐτὸ ὁ μηδαμῆ μηδαμῶς ὄν. καὶ τοῦτο γὰρ ὅτι ἄνθρωπός ὅστιν, ὅτι δίκαιος, ἀλλ' ὁδὶ ὅστιν ὅλως. ἡ δ' ἀπόφασις φθάνει καὶ ἐπὶ τοῦ μὴ ὄντος ὅλως. ὁμοίως αὖθις ὁ μὴ, ἄνθρωπος ὁ δίκαιος ὅστι, δύο σημαίνει, τόντι ἄδικον, ἢ τὸ βρέφος. ὁ δὲ, ἄνθρωπος ὁ δίκαιος οὐκ ὅστιν, καὶ αὐτὸ τρία περιέχει, τόντι δίκαιον σωκράτην δηλονότι, τὸν ἄνθρωπον, τὸν μὴ ὄντα ὁδίκαιον, ὁ ξύλον, καὶ πάντα τὰ παρὰ τὸν ἄνθρωπον. ὅτι

γὰρ

αἱ ἀντιφάσεις διῄρηνται. εἰσὶ δὲ αὗται πᾶσαι αἱ προτάσεις ἢ ὡρισμένου ὑποκειμένου, ὡς εἶναι δύο μὴ τὴν καθόλου, κατάφασιν καὶ ἀπόφασιν. δύο δὲ τὴν ἀποστερητικῶν. δύο τὴν καθόλου ὡς καθόλου, κατὰ τὸ πᾶς καὶ οὐ πᾶς. καὶ δύο τὴν ἐπὶ μέρους καθόλου ὡς καθόλου, καὶ τὸ τὶς καὶ οὐδείς, οἷον οὐκ ἄρα. ταύτας τετραγωνισμὸν καλῶ τὰς τέτταρας προτάσεις, γίνονται εἴκοσι καὶ τέσσαρες. ταύτας αὖθις τετραγωνισμὸν καλῶ τὰς τέτταρας ὕλας, γίνονται ἑξήκοντα δύο, αἱ πᾶσαι ἢ ὡρισμένου ὑποκειμένου. ἄλλαι δὲ τόσαι πρὸς ᾧ ὁ Σωκράτης, καὶ ᾧ οὐκ ἄνθρωπος σωματοποιοῦμαι, ἃ δὴ καὶ ἀόριστα ὀνόματα ἐλέγομεν, καὶ γίνονται αἱ πᾶσαι ἑκατὸν καὶ μία, αἱ ἢ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις, ἐν αἷς οὐκ ἔχει χώραν τὸ ἀόριστον ῥῆμα. ἀπόφασις δ' γίνεται οὐκ ὡρισμένης τῆς προτάσεως, ὡς καὶ κατάφασιν γίνεσθαι ἢ ἀορίστου ῥήματος, καθὼς ἄρα καὶ τὴν ἐχόντων τὸ ὅτι τρίτον προσκατηγορούμενον γίνεται, ὡς ὕστερον ῥηθήσεται.

Κεφάλαιον. β'.

ΤΑΝ γὰρ τὸ ἔστι τρίτον προσκατηγορῆται, φησὶν Ἀριστοτέλης, τότε διχῶς γίνονται αἱ ἀντιθέσεις, ὡς διασταυροῦσθαι καὶ ταύτας πρὸς τὰς ἑπάνω. πῶς δὲ γίνονται διττῶς αἱ ἀντιθέσεις; ἅτως. οἷον, ἄνθρωπος δίκαιός ἐστιν, ἄνθρωπος δίκαιος οὐκ ἔστιν. ἐπεὶ δὲ δυνατὸν δίξα-

μιᾶς ὄσπς καθόλα, ἀλλὰ μᾶλλον διὰ τὸ ἀξίωμα τ καθόλα, καὶ τὼ ἑτέραν σημύνει. τὼ μ πᾶς, ἀποφάσκει, ἡ ὁ πᾶς. ὥσπερ οὐδὶς ἢ οὐ λίς, καταφάσκει τὼ ὁδείς. πῶς δὲ αὗται ἀντιφατικαὶ, ὅτι ἐν τοῖς τελσὶ χρόνοις, ὠδὶ τῶν τελῶν ὑλῶν διαιρῶσι τὸ ἀληθὶς καὶ τὸ ψεῦδος. οἷ ὠδὶ τ ἀναγκαίας, πᾶς ἄνθρωπος ζῶον, καὶ ὅστι, οὐ λῶ, καὶ ἔσαι ἀληθὶς. ὁ πᾶς ἄνθρωπος ζῶον, καὶ ὠδὶ τῶν τελῶν χρόνων ψεῦδ. οὐ οὐδὶς ὠδὶ τ ἀδυνάτα, πᾶς ἄνθρωπος πτερωτός, οὐ ὅστι, οὐ λῶ, οὐ ἔσαι ψεῦδος. ὁ πᾶς ἄνθρωπος πτερωτός, οὐ ὠδὶ τῶν τελῶν χρόνων ἀληθὶς. διότι ἡ ὁ πᾶς ὠδὶ τ ἀδυνάτου, τῇ ὁδεὶς ἀκολουθεῖ ὡς ἐλέχθη. οὐ οὐδὶς ὠδὶ τ ἐνδεχομένης. πᾶς ἄνθρωπος δίκαιος, καὶ ὅστι, καὶ λῶ, οὐ ἔσαι ψεῦδος. ὁ πᾶς ἄνθρωπος δίκαιος οὐ ὠδὶ τῶν τελῶν χρόνων ἀληθὶς. ὁμοίως οὐ ὠδὶ τ λὶς οὐ ὁδεὶς. ὠδὶ τ ἀναγκαίας, τὶς ἄνθρωπος ζῶον, ἀληθὶς, ὅτι οὐ πᾶς. ὠδὶ γὰρ τ ἀναγκαίας, ἡ τὶς τῇ πᾶς ἀκολουθεῖ. λοιπὸν ἀληθινὴ ἡ πόφασις οὐ ὠδὶ τῶν τελῶν χρόνων. ὁδεὶς ἄνθρωπος ζῶον, ψεῦδος οὐ ἐπὶ τῶν τελῶν. ὡσαύτως οὐ ἐπὶ τ ἀδυνάτα. τὶς ἄνθρωπος ἵπταται, ψεῦδος ἀεὶ. ὁδεὶς ἄνθρωπος ἵπταται, ἀεὶ ἀληθὶς. ὡσαύτως οὐ ἐπὶ τ ἐνδεχομένης. τὶς ἄνθρωπος περιπατεῖ, ἀεὶ ἀληθὶς. ὁδεὶς ἄνθρωπος περιπατεῖ, οὐ ἐπὶ τῶν τελῶν χρόνων ψεῦδος. οὐ ὅτω μὴ

αἱ

στιν, εἰ μέλλουσι παρομοιάζειν ταῖς πρωτοδιωρισμέναις, πάντως ταῖς χείροσιν ὁμοιωθήσονται. χείρονες δὲ τ μὴ πᾶς, ἢ τὶς. τ δὲ οὐδεὶς, ἢ οὐ πᾶς. πρὸς ἃ πλάτων ἀνασκευάζων, παρᾷ) ἀντιφατικὰς δεικνύειν τὰς ἀπροσδιορίστους. ἢ ὅτι μὲν παρομοιάζειν τούτας ταῖς ἐκ τῶν χειρόνων προσδιωρισμέναις, ἢ αὐτὸς κατατίθεται). ἢ ὅτι ἢ τὶς, χείρων τ πᾶς, ὡς μᾶλλον ἢ καθόλου. περὶ δὲ τ οὐ πᾶς καὶ τ οὐδεὶς, ἀμφιβάλλει πότερα χείρων. καὶ ἐπιφημίζεται χείρονα τὴν οὐδεὶς τ οὐ πᾶς. ὅτι ἡ οὐδεὶς οὐδὲν παραιτεῖται οἷς ἂν ἐπιτρέπει. ἡ δὲ οὐ πᾶς, τί μὴ εἰσάγει, τί δὲ ἢ ἔξω ἀφίησι. ἢ καὶ ἔστιν λέγων τὴν οὐδεὶς χείρονα, ὑφαρπάζει ταύτην τὴν τῆ ἀπροσδιορίστου ἀποφάσιν. ὡς ἔστιν τοῦτο τὴν ἄνθρωπος οὐ περιπατεῖ, τῇ οὐδεὶς ἄνθρωπος περιπατεῖ. καὶ λοιπὸν αἱ ἀπροσδιόριστοι, ὑπὸ μὴ τῆς ἀναγκαίας ἢ τ ἀδυνάτου, διαιρεῖσι δ ἀληθὲς ἢ τὸ ψεῦδος, ἢ ὑπὸ τῆς ἐνδεχομένης ὡς διαφέρει πλάτων, ἰσοδυναμεῖ ἡ ἄνθρωπος οὐ περιπατεῖ, τῇ οὐδεὶς ἄνθρωπος περιπατεῖ. ὥσπερ ἢ ἄνθρωπος περιπατεῖ, τῇ τὶς ἄνθρωπος περιπατεῖ. ἔστι γὰρ καὶ τοῖς δυσὶν ἀναμφίβολον, ἀντιφατικαὶ ἂν εἶεν αἱ ἀπροσδιόριστοι κατὰ πλάτωνα. ἡ γὰρ τὶς, καὶ ἡ οὐδεὶς, ἀντιφατικαὶ δειχθήσονται ἤδη, ὡς καὶ ἡ πᾶς, καὶ ἡ οὐ πᾶς. ἃς καὶ αὐτὰς λέγει καθόλου ὡς καθόλου ἀριστοτέλης. καίτοιγε

ὧδὶ μὴ γὰρ τ̃ ἀναγκαίας ὕλης, ἐν παντὶ χρόνῳ
διαιρεῖσι τὸ ἀληθὲς ἢ τὸ ψεῦδος. τίς γὰρ ἄνθρω-
πος ζῶον, ἐπεὶ καὶ πᾶς, ἀληθές ἐστι, καὶ νῦν καὶ
ἔσται. τὸ πᾶς ἄνθρωπος ζῶον, ἢ ἐπὶ τῆν τειῶν
χρόνων ψεῦδος. ὡσαύτως καὶ ὧδὶ τ̃ ἀδυνάτ̃.
τίς γὰρ ἄνθρωπος ξύλον, ἢ ἐπὶ τῆν τειῶν χρό-
νων ψεῦδος. τὸ πᾶς ἄνθρωπος ξύλον, καὶ ὧδὶ τῆν
τειῶν χρόνων ἀληθὲς, ἐπεὶ καὶ οὐδεὶς ἄνθρω-
πος ξύλον. ὥσπερ οὖ ἐπὶ τ̃ ἀναγκαίας, ἢ τίς συ-
ναληθεύει τῇ πᾶς, οὕτω καὶ ἐπὶ τ̃ ἀδυνάτ̃, ἢ οὐ
πᾶς τῇ οὐδείς. ἐπὶ γὰρ τ̃ ἐνδεχομένης μεριχεύον-
ται ἢ ἀμφότεραι, ἐφ' ἧς ὕλης ἢ συναληθεύεσι
καὶ ὧδὶ τῆν τειῶν χρόνων. τίς γὰρ ἄνθρωπος
καὶ οὐ πᾶς ἄνθρωπος, καὶ λεύκαι ἢ ἐλεύθη, ἢ
λευθήσεται. ἐπεὶ οἷῶ τε δὴ αὗται παντα χῆ ἀν-
τιφατικαί εἰσι (συναληθεύεσι γὰρ ἐπὶ τ̃ ἐνδε-
χομένης) πῶς ἂν κληθεῖεν καὶ αὗται; ἐναν-
τίαι μὲν οἷῶ τε οὐκ ἂν κληθεῖεν, ἐπεὶ συναληθεύ-
σιν. ἀλλὰ κληθεῖεν ἂν ὡς ἐναντίαι, καὶ ὡς ἄλ-
ληλοι ταῖς καθόλου ἢ ἐναντίαις, διόπερ ὡς ἐκεί-
ναις τάττονται. ταύταις ταῖς μεριχαῖς, ἢ αἱ
ἀποφατικοὶ ἰσοδυναμοῦσιν, ἐπεὶ καὶ ἐκείνας ἐ-
λέγομεν ἐπὶ τῆς ἐνδεχομένης συναληθεύειν, ἃς
καὶ καθόλου ὡς μὴ καθόλου ἐλέγομεν. οἷον ἄν-
θρωπος βαδιζέτω, ἄνθρωπος ὁ βαδιζέτω.
ἢ λίαν εἰκότως. ἐπειδὴ γὰρ ἀποφατικοί εἰ-

σιν.

ἐναντίων τρόπος ἁρμόδιος. ἐπεὶ γὰρ τῶν ἐναντίων, τὰ μέν ἐστιν ἄμεσα, ὡς φῶς καὶ σκότος, ζωὴ καὶ νέκρωσις. τὰ δ' ἔμμεσα, ὡς θερμὸν καὶ ψυχρόν. μέσον γὰρ αὐτῶν τὸ χλιαρόν. καὶ λευκὸν καὶ μέλαν. μέσα γὰρ αὐτῶν, τό, τε, φαιόν, καὶ τὰ λοιπὰ χρώματα. κατὰ μὲν τοίνυν τὴν ἐμμέσων ἐναντίων, ὅτι πεφύκασι λείπειν καὶ ἀμφότερα ἀπὸ τοῦ δεκτικοῦ, ὡς παρεῖναι τὸ μέσον, κληθεῖεν ἂν ἐναντίαι αὗται αἱ ἀντιφάσεις. ὅλη λειπουσῶν καὶ τῶν δύο ἀπὸ τῆς ἐνδεχομένης ὕλης, δυνάται παρεῖναι τὸ μέσον. τὸ, τινὰ ἄνθρωπον καὶ λέυκαθαι, καὶ λευκὸν εἶναι, καὶ λευκάνεσθαι. κατὰ δὲ τοίνυν τὴν ἀμέσων ἐναντίων, ὅτι ἀπὸ τοῦ δεκτικοῦ ἐξ ἀνάγκης θάτερον ὑπάρχει. ἀπὸ γὰρ τοῦ ζῴου, ἢ ζωὴ ἢ θάνατος, ἢ αὕτη νόσος ἢ ὑγεία, ἐναντίαι κληθεῖεν, ὅτι ἀπὸ τῆς ἀναγκαίας καὶ ἀδυνάτου, θατέρα τῶν δύο μοιράσεων ἐξ ἀνάγκης πάρεστιν. ἢ γραμμὴ ἀληθεύει, ἢ καὶ ἄλλως, ἐναντία κληθεῖεν ἀσυλλόγιστον, ὅτι τὰ ἐναντία ἀπεῖναι μὲν πεφύκασιν ἀπὸ τοῦ μὴ δεκτικοῦ. παρεῖναι δὲ ἅμα δ' πεφύκασιν ἀπὸ τοῦ δεκτικοῦ. ὡσαύτως καὶ αὗται ἀπεῖναι μὲν πεφύκασιν, ὡς συμβεβήκασι. παρεῖναι, δὲ ὅλως πεφύκασιν. ἐπεὶ τοίνυν αἱ καθόλου ἀποδεδειγμένοι εἰς ἀντίφασιν, μὴ ἆρα αἱ μερικαὶ καὶ ἀόριστοι, καὶ ἡ δ' παῖς, ἐνοσωθήσονται ἐπὶ πάντα χρόνον καὶ πᾶσιν εἰς ἀντίφασιν; ἀλλ' οὐδὲ αὗται.

γαρ καὶ ὁ προσδιορισμὸς καθόλε, καὶ τὸ ὄνομα καθόλε. οὐ πᾶς ἄνθρωπος ἀναπνεῖ. τὸ δ' πᾶς συναχτικόν ὅτι ἀπάντων τῶν καθ' ἑκάσα, κὴ ὧδὲν τούτων ἔξω ἀχολείπει. δοκιμάζονται τοίνυν οἱ δύο καθόλε προσδιορισμοὶ, ὁ πᾶς, καὶ ὁ οὐδείς, εἰ ἄρα διαιρήσουσι τὸ ἀληθὲς κὴ τὸ ψεῦδος, ὡδὶ παντὸς χρόνε καὶ ὡδὶ πάσης ὕλης. καὶ εἰ μὴ ὅτως, κληθεῖεν ἂν ἀντιφατικαί. εἰ δ' ὅ, ἄλλε τινὸς ὀνόματος κληρονομήσουσιν. ὅτω γοῦν σωτίθεται. πᾶς ἄνθρωπος ἀναπνεῖ, ἢ ἀνέπνευσεν, ἢ ἀναπνεύσει. καὶ οὐδεὶς ἄνθρωπος ἀναπνεῖ, ἢ ἀνέπνευσεν, ἢ ἀναπνεύσει. καὶ εἰσὶν ὡδὶ τῶν τειῶν χρόνων ἐν τῇ ἀναγκαίᾳ ὕλῃ, αἱ μὲν καταφάσεις ἀληθεῖς, αἱ δὲ ἀποφάσεις ψευδεῖς. καὶ αὖθις, πᾶς ἄνθρωπος πετᾷ, ἢ ἐπέτασεν ἢ πετάσει. οὐδεὶς ἄνθρωπος πετᾷ, ἢ ἐπέτασεν, ἢ πετάσει. κὴ εἰσὶν ὡδὶ τῶν τειῶν χρόνων, αἱ μὲν ἀποφάσεις, ἀληθεῖς. αἱ δὲ καταφάσεις, ψευδεῖς. καὶ αὖθις, πᾶς ἄνθρωπος λέπεται, ἢ ἐλέχθη, ἢ λεχθήσεται. καὶ οὐδεὶς ἄνθρωπος λέπε), ἢ ἐλέχθη, ἢ λεχθήσε). καὶ εἰσὶν ὡδὶ τῶν τριῶν χρόνων, ἐν τῇ ἐνδεχομένῃ ὕλῃ, συμψευδόμεναι καὶ ἀμφότεραι. λοιπὸν αὗται ὄκ ἀντιφατικαί εἰσι. πῶς οὖν κληθεῖεν αὗται, ἐπεὶ ὄκ ἀντιφατικαὶ λεχθήσον); ὁ γὰρ διαιρῶσι παντα-χῶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἢ πάντως ἐναντίαι. καὶ ἡ κλῆσις αὕτη ταύταις, κατὰ δύο τὰς τῶν

ἐναντίων

μέλλοντος, ἀορίστως καὶ ὁ πότερον ἔτυχε. διὸ μὴ ὂν ἀληθές, ἀπότερον δὲ ψεῦδος. ὅτω γὰρ πέφυκε τὸ εἱμαρμένον ἀναιρεῖσθαι. ταῦτα ἐπὶ τῆς καθ' ἑκάστα. καθ' ἑκάστον δ' Σωκράτης ἢ Πλάτων. ὡδὶ δὲ τῆς καθόλου, εἰ μὴ δίχα προσδιορισμῶν ἐκφέρονται, ἀπροσδιόριστοι λέγονται, καὶ καθόλου, ὡς μὴ καθόλου. ὅτι καθόλου ὄντος τοῦ ἀνθρώπου, οὐχ ὡς καθόλου μετὰ προσδιορισμοῦ τὴν ἀντίφασιν κεχρήμεθα. αὗται γοῦν αἱ προτάσεις, ὡδὶ μὲν τῆς ἀναγκαίας ὕλης καὶ τῆς ἀδυνάτου, καὶ ὡδὶ τῆς τοιῶν χρόνων διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἄνθρωπος γὰρ ἀναπνεῖ, καὶ ἀνέπνευσε, καὶ ἀναπνεύσει. ἢ οὐκ ἀναπνεῖ, καὶ οὐκ ἀνέπνευσε, καὶ οὐκ ἀναπνεύσει. καὶ ἄνθρωπος ἵππαται, καὶ ὠφετάθη, καὶ πεταθήσεται. ἢ οὐχ ἵππαται, οὐκ ἐπέτασεν, οὐ πεταθήσεται. ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης, συναληθεύει καὶ ἡ κατάφασις τῇ ἀποφάσει. ἄνθρωπος γὰρ λούεται, ἢ ἐλούθη, ἢ λουθήσεται. καὶ οὐ ἄνθρωπος οὐ λούεται, ἢ οὐκ ἐλούθη, ἢ οὐ λουθήσεται, ἀμφότερα ἀληθεύει. ἀπόλυτα γὰρ ὄντα τῶν προσδιορισμῶν, ὡδὶ τοῦτον κἀκεῖνον τὸν λόγον φήσει καὶ συναληθεύσειν. ὥς τι οὐκ ἀεὶ αἱ ἀπροσδιόριστοι διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἄλλη μὴ καὶ ὡδὶ τῶν προσδιορισμένων δεῖ τὸν λόγον, αἵτινες λέγονται καθόλου ὡς καθόλου. ὅτι

χρυσὸς, ἢ ἄργυρος, ἢ χαλκὸς. ὅτως ὅτι λέγω ἄνθρωπος ἀναπνεῖ, ἡ ἀναγκαία ὕλη ἐμφαίνει. ἀναγκαῖον γάρ ἐστι, τὸ μὴ ἄλλως ἔχειν ποτέ. ὅτε δὲ λέγω ὁ ἄνθρωπος ἄλογον, ἡ ἀδυνάτως ὕλη ἐμφαίνεται. ἀδυνάτον γάρ ἐστι, τὸ μὴ δυνάμενον γενέσθαι. ὅτε δὲ λέγω ὁ ἄνθρωπος περιπατεῖ, ἡ ἐνδεχομένη ὕλη ἐμφαίνεται. ἐνδεχόμενον γάρ ἐστι, τὸ δυνάμενον καὶ εἶναι καὶ μὴ εἶναι. εἰσὶ γὰρ ἐπὶ τῶν καθέκαστα δέκα προτάσεων, αἱ ἀποφατικαὶ καὶ κατηγορηματικαὶ ἀντιφάσεις. οἷον Σωκράτης λογίζεται καὶ ἀναπνεῖ, ἢ ἀνέπνευσεν, ἢ ἀναπνεύσει. Σωκράτης οὐκ ἀναπνεῖ, ἢ οὐκ ἀνέπνευσεν, ἢ οὐκ ἀναπνεύσει. καὶ ἔστιν ἐν τοῖς τρισὶ χρόνοις, ἐπὶ ἀναγκαίας ὕλης, ἡ μὲν κατάφασις ἀληθὴς, ἡ δὲ ἀπόφασις ψευδής. ὁμοίως οὕτως, Σωκράτης περιπατεῖ, ἢ ἐβάδισεν ἢ περιπατήσει. Σωκράτης οὐ περιπατεῖ, ἢ οὐκ ἐβάδισεν ἢ οὐ περιπατήσει. καὶ ἔστιν ἐν τοῖς τρισὶ χρόνοις, ἐπὶ ἀδυνάτου ὕλης, ἡ μὲν ἀπόφασις ἀληθὴς, ἡ δὲ κατάφασις ψευδής. ὁμοίως οὕτως, Σωκράτης λέγεται, ἢ ἐλέχθη, ἢ λεχθήσεται. Σωκράτης οὐ λέγεται, ἢ οὐκ ἐλέχθη, ἢ οὐ λεχθήσεται. καὶ ἔστιν ἐν τοῖς τρισὶ χρόνοις, ἐπὶ τοῖς ἐνδεχομένης ὕλης, ἡ μὲν μία ἀληθὴς, τρεῖς δὲ ψευδεῖς. τρία ἐπὶ τῶν δύο χρόνων τῶν τε παρεληλυθότος καὶ τοῦ ἐνεστῶτος, ὡρισμένως τὸ μὴ ὂν ἀληθὲς, τρία δὲ ψεῦδος. ὡσὶ δὲ τοῦ

μέλλοντος,

πατεῖ, ὁ ῥῆμα, ἀλλὰ ἀόριστον ῥῆμα. καὶ γίνονται ἐξ ὑποκειμένου καὶ κατηγορημένου προτάσεις, τοῦ ὑποκειμένου ἢ ὡρισμένου ὄντος, ἢ ἀορίστου. Εἰσὶ δὲ καὶ τέτταρες προσδιορισμοὶ ὃν ὑποκειμένῳ σωτατόμενοι, οἵ τε δύο κατηγορικοὶ, ὁ πᾶς καὶ ὁ τὶς. καὶ δύο ἀποφατικοί, ὁ οὐδεὶς καὶ ὁ οὐ πᾶς. καὶ πάλιν δύο καθόλου, ὁ πᾶς καὶ ὁ οὐδεὶς. καὶ δύο μεριστικοί, ὁ τὶς καὶ ὁ οὐ πᾶς. προσδιορισμοὶ δὲ λέγονται, διότι προσδιορίζουσι τὸν λόγον πῶς λέγεται, ἢ κατὰ τὸ καθόλου, ἢ κατὰ τὸ μεριστόν. καὶ ἢ κατὰ τὸ καταφατικόν, ἢ κατὰ τὸ ἀποφατικόν. εἰσὶ δὲ καὶ τρεῖς ὕλαι. ἀναγκαία, ὡς τὸ ἄνθρωπος ἀναπνεῖ. ἀδυνάτως, ὡς τὸ ἄνθρωπος ἵππος ἐστι. ἐνδεχομένη, ὡς τὸ ἄνθρωπος λεύκος. καὶ τρεῖς χρόνοι. ἐνεστὼς, παρεληλυθὼς, μὴ μέλλων. ἐπεὶ τοίνυν τῶν προσδιορισμῶν, οἱ μὲν δύο καταφατικοὶ, οἱ δὲ δύο ἀποφατικοὶ, συνδυάζει τὰς προσδιορισμὰς ὃν ὑποκειμένῳ καὶ ὃ κατηγορουμένῳ, καὶ ζητεῖ ὡδὶ τούτοις τὴν ἀντίφασιν. Ἀντίφασις δέ ἐστιν, ἡ ἐναντία φάσις. ὡς ἀληθευούσης τῆς καταφάσεως, ψευδὴς τὴν ἀποφασιν. μὴ ταύτης ἀληθευούσης, τὴν κατάφασιν ψευδῆ. ἐνδέχεται δὲ, ἢ συναληθεύειν ἢ συμψεύδεσθαι, μὴ ὡδὶ τῶν τριῶν χρόνων, μὴ ὡδὶ τῶν τριῶν ὑλῶν. Ὕλαι δὲ λέγονται, διότι ἔξωθεν ἐμφαίνονται. ὥσπερ γὰρ ὅτε λέβητα εἴπω, ἡ ὕλη ἔξωθεν ἐμφαίνεται, ἢ γὰρ

πίπτει δ' λογικὸν καὶ δ' ἄλογον. καιρὸν γάρ ἐστιν ὁ λέγων, ὅπου δ' πότερον καὶ ὕστερον, τούτων δ' κοινῶς κατηγορούμενον, ὀνόματι λέγω.

Κεφάλαιον. ι'.

ΚΙΝΗΣΕΩΣ δ' ἐστὶν εἴδη ἓξ. γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, καὶ κατὰ τόπον μεταβολή. καὶ μὲν γένεσις καὶ φθορά, τῆς οὐσίας ἐστίν. ἡ δὲ αὔξησις καὶ μείωσις, τοῦ ποσοῦ. ἡ ἀλλοίωσις, τοῦ ποιοῦ. καὶ κατὰ τόπον μεταβολή, τοῦ πού. δόξειε δ' ἡ αὔξησις καὶ ἀλλοίωσις ταυτὸν. ὀνόματι δ'. τὸ γὰρ πεφαίνον ἐπιτείνεται αὐτῷ γνώμονι, αὔξεται μέν, οὐκ ἀλλοιοῦται δ', ἀλλὰ πάλιν μένει πεφαίνον.

Τίτλος. γ'. Κεφάλαιον. ά.

ΕΝΤΕΥΘΕΝ παραλαμβάνονται ὅροι δύο ἐκ τῆς κατηγορίας, καὶ γίνεται πρότασις, ὥσπερ ἐκ δύο γραμμάτων συλλαβή. οἷον Σωκράτης γράφει. ὁ μὲν Σωκράτης, ἀνάγκη τινὶ τῇ οὐσίαν. ὁ δὲ γράφει, τινὶ τὸ ποιεῖν. ὥσπερ καὶ ὁ Σωκράτης κάθηται. ὁ μὲν γὰρ, οὐσία. τὸ δὲ, τινὶ τὸ κεῖσθαι ἀνάγκη. ὃ δ' μὲν, τινὶ κείμενον λέγεται. τὸ δὲ, κατηγορούμενον. καὶ τὸ μὲν, ὄνομα. τὸ δὲ, ῥῆμα, οἷον ἄνθρωπος πορεύεται. τὸ δὲ οὐκ ἄνθρωπος, οὐκ ὄνομα, ἀλλ' ἀόριστον ὄνομα. ὥσπερ γὰρ οὐ δ' ὁ πορεύεται

ἀληθές. ἐν δὲ τῇ καταφάσει, καὶ τῇ ἀποφάσει, καὶ ἐπὶ ὄντος, καὶ ἐπὶ μὴ ὄντος πᾶσι ἃ λέγομεν, τὸ μέν, ἀληθές ἐστι, τὸ δὲ, ψεῦδος. οἷον σωκράτης ζῇ. σωκράτης ἀποθνήσκει. σωκράτης ζῇ. ἢ σωκράτης λέγεται. σωκράτης οὐ λέγει. καὶ ἐπὶ ὄντος καὶ ἐπὶ μὴ ὄντος, τὰ μέν, ἀληθῆ. τὰ δὲ, ψεῦδος.

κεφάλαιον. θ'.

Ὁ πρότερον πρᾶγμα λέγεται τὸ, τῷ χρόνον, καὶ τὸ καθ' ὑστέρησιν λεγόμενον τὸ, μὴ ἀντιστρέφον τῷ εἶναι ἀκολουθοῦν. τὸ μὲν γὰρ εἶναι δύο πρότερον. καὶ δύο ὄντων, ἕν ἐστιν. ἑνὸς δὲ, οὐ δύο. τρίτον, τῇ τάξει καθάπερ ἐπὶ τῶν ἐπιστημῶν ἔχει. τὰ μὲν στοιχεῖα πρότερα τῶν διαγραμμάτων. καὶ τῶν ἀντιστρεφόντων τῷ εἶναι ἀκολουθοῦσιν, τὰ αἴτιον θατέρῳ τοῦ εἶναι, πρότερον. εἰ μὲν καθῆται ὁ ἄνθρωπος, ἀληθές ἐστιν ὁ περὶ αὐτοῦ λόγος ὅτι καθῆται, ἀληθής. καὶ εἰ ὁ λόγος ἀληθής ἐστι, καθῆται ἐκεῖνος. ὅμως δὲ ὁ καθήμενος, αἴτιος τῷ λόγῳ τοῦ ἀληθείας, καὶ οὐχ ὁ λόγος τῷ πράγματι. ὁμοίως δὲ τούτων ὄντων πρότερα ὑπάρχει λέγειν.

Τὰ δὲ ἅμα χρόνῳ λέγεται. ἃ ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ. ἃ ὅσα ἀντιστρέφει τῷ εἶναι ἀκολουθοῦσιν, μηδαμῶς δὲ θάτερον αἴτιον θατέρῳ τοῦ εἶναι ἐστίν. οἷον ἐπὶ τοῦ διπλασίου καὶ τοῦ ἡμίσεως. διπλασίου μὲν ὄντος, ἥμισυ ἐστί. καὶ ἡμίσεως, διπλάσιον. οὐδέτερον δὲ οὐδετέρῳ αἴτιον τοῦ εἶναι. καὶ ὅσα εἰσὶν ἀντιδιῃρημένα ἐκ τοῦ αὐτοῦ γένους. ἅμα μὲν ἐκ τοῦ ζώου

ἔχει. ἢ ὡς κτῆμα, οἷον ἔχει οἰκίαν. λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν. καὶ οἱ δ' εἶχον φυλακὴν, παρὰ δ' ποιητῇ. τὸ δὲ πᾶ, οἷον ἐν Λυκείῳ, ἐν ἀγορᾷ. τὸ δὲ πότε, οἷον χθιζόν. σήμερον. αὔριον. καὶ τὰ παραπλήσια. Κεφάλαιον. ε.

Τ Α δὲ ἀντικείμενα πρὸς ἕξιν λέγονται. ἢ ὡς τὰ πρός τι, ἀντίκειται ἀλλήλοις ὡς μεῖζον, ὡς ἐλάττονι. ἢ ὡς τὰ ἐναντία, ὡς ἀγαθὸν, ὡς κακῷ. ἢ ὡς κατὰ στέρησιν καὶ ἕξιν, ὡς τυφλότητι ὄψις, καὶ ὠδὶ εἰπεῖν ἀγνοία. ἢ ὡς κατάφασις καὶ ἀπόφασις, ὡς σωκράτης κάθηται, σωκράτης οὐ κάθηται. καὶ τῶν ἄλλων μὴ διαιρουμένων τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἡ κατάφασις καὶ ἀπόφασις διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. μὴ γάρ μοι λέγε ὠδὶ τῷ πρός τι, μεῖζον ἐστὶν, ἔλαττον ἐστί. ταῦτα δὲ καταφάσεις εἰσὶ, καὶ οὐχ ἁπλῶς πρός τι. ἀλλὰ μεῖζον, ἔλαττον, ὅπερ ἐστὶ ἀληθὲς δηλοῖ, ἐστὶ ψεῦδος. ὁμοίως καὶ ἐπὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῆς στερήσεως καὶ τῆς ἕξεως. ὁ μὲν ἀληθὲς ἁπλῶς ἐστι, τὸ δὲ ψεῦδος, ὥσπερ ἐπὶ τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως. αὐτὰ δὲ καθ' αὑτὰ ἐστὶ ἀληθὲς ἐστὶ ψεῦδος ἔχεσι λεγόμενα ἁπλῶς. οἷον ἀγαθὸς, κακός. εἰ δέ τις προσθείη σὺ ὄντι, λέγων ζῶν ὄντι ὅδε, νεκρός ἐστιν ὅδε, καὶ ἀξιοῖ τὸ μὲν εἶναι ἀληθὲς, τὸ δὲ ψεῦδος, ἀλλ' ἴσως ὅλως ἐπὶ μὲν ὄντος τοῦ σωκράτους τυχὸν, συμβαίνει τοῦτο. ἐπὶ δὲ μὴ ὄντος, οὐδέτερον ἀληθές.

λανία. ἢ αἱ, καὶ ταύτας ἄλλαι. αἱ δὲ αὐταὶ πάθος ἐμποιοῦσι ταῖς αἰσθήσεσιν, ὡς γλυκύτης ἢ ψυχρότης. ὅτι δὲ ἢ τῶν ποιοτήτων, ἢ μᾶλλον τῶν ποιῶν ἴδιον, σ' ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι.

Κεφάλαιον. ε'.

ΓΙΔΕΧΕΤΑΙ δὲ καὶ σ' ποιεῖν καὶ τὸ
Ε πάσχειν ἐναντιότητα. σ' θερμαίνειν, ὃ ψύχειν ἐναντίον. καὶ σ' θερμαίνεσθαι, ὃ ψύχεσθαι. ὡσαύτως δέχεται δὲ καὶ σ' μᾶλλον καὶ τὸ ἧττον. ἧττον γὰρ καὶ μᾶλλον θερμαίνει. καὶ ἧττον καὶ μᾶλλον ψύχεται. καὶ λυπεῖ καὶ ἥδει. καὶ λυπεῖται καὶ ἥδεται.

Κεφάλαιον. ς'.

Ὁ δὲ κεῖσθαι παρωνύμως ἀπὸ τῆς θέσεων
Τ λέγεται. θέσις δέ ἐστι, καὶ ἡ στάσις ἢ ἡ καθέδρα καὶ ἡ ἀνάκλισις. ὥς τε καὶ τὸ ἵστασθαι, καὶ σ' καθέζεσθαι, καὶ σ' ἀνακλίνεσθαι, ἀπὸ σ' κεῖσθαι ἀναχθήσονται.

Κεφάλαιον. ζ'.

ΧΕΙΝ δέ ἐστι, τὸ ὑποδεῖσθαι, σ' ὑποδεδεῖσθαι, καὶ τὸ ἄλλας πολεῖονας τρόπους.
Ε ἢ γὰρ τὸ ποιότητα, ὡς ὑγείαν ἔχει, καὶ γραμματικὴν ἔχει. ἢ ὡς ποσὸν, τεῖπηχυ μέγεθος ἔχει. ἢ ὡς τὰ πρός τι, ὁ ἡμιόλιον ἔχει. ἢ ὡς ἐν μορίῳ, ὁ δακτύλιον ἔχει. ἢ ὡς μόριον, ὁ χεῖρα ἔχει. ἢ ὡς ἐν ἀγγείῳ, ὁ κέραμον οἶνον

λος ποιότητος, σχήματι, καὶ μορφή. καὶ σχῆμα μέν ἐστιν ἐπὶ τῆς ἀψύχων. ὡς σχήματ' οἴκων, φησὶν Εὐριπίδης. μορφὴ δὲ, ἐπὶ τῶν ἐμψύχων, εὔμορφος καὶ ἄνθρωπος λέγεται. παρωνύμως δὲ οἱ ποιοὶ ἐκ τῆς ποιοτήτων λέγονται, πλὴν καὶ ποτὲ ἐτερωνύμως, ὡς ἀπὸ τοῦ ἀρετὴ ὁ σπουδαῖος. παρώνυμα δέ εἰσιν, ὅσα ἀπό τινος εἰσὶ διαφέροντα τῇ πτώσει. πτῶσις δέ ἐστι, κατὰ τέλος τῆς λέξεως. οἷον γραμματικὴ, γραμματικός. σπανίως δὲ καὶ ὁμωνύμως ἐκ τῆς ποιοτήτων ῥηθείη ἂν τὸ ποιόν. ὡς ἀπὸ τῆς γραμματικῆς, γραμματικὴ γυνή. ἐπ' ἐνίων δὲ, διὰ τὸ μὴ κεῖσθαι ταῖς ποιότησιν ὀνόματα, οὐκ ἐνδέχεται παρωνύμως ἀπ' αὐτῶν λέγεσθαι. πυκτικὸς γὰρ καὶ δρομικὸς, ὁ μὴ δυνάμει φυσικῇ λεγόμενος, ἀπ' ἐνεργείας ποιότητος παρωνύμως λέγεται. ἃ δὲ κεῖται ὄνομα ταῖς δυνάμεσι ταύταις. εἰ δ' εὑρηται πυκτικὴ καὶ δρομικὴ, ἕξεις καὶ αἱ δυνάμεις αὗται εἰσί. οἱ δὲ τὰς ἕξεις ταύτας λέγοντες πυκτικοὶ καὶ δρομικοὶ, οὐκ ὀρθῶς δυνάμει φυσικῇ, ἀλλ' ὀρθῶς κατὰ διάθεσιν. ἀπὸ γὰρ τῆς πυκτικῆς ἕξεως, πυκτικὸς ὁ διακείμενος λέγεται. ἐνίοτε δὲ ὁ μὴ δυνάμει, ὃς δύναται μὴ πυκτεύειν, ἐνίοτε δέ ποτε ἐπύκτευσεν, ἢ ὅτι καὶ πυκτεύσειε. σημειωτέον δὲ καὶ περὶ τῶν παθητικῶν ποιοτήτων, ὅτι αἱ μέν, γίνονται ἀπὸ παθους, ὡς λευκότης καὶ μελανία.

κεφάλαιον. λ'.

ΟΙΟΤΗΣ δ' ἐστὶ καθ' ἣν ποιοί τινες λέγονται. διχῶς δὲ εἰς κατανόησιν οἱ ποιοὶ, ἢ αἱ ποιότητες. ἔστι δὲ ἕξις, καὶ διάθεσις. ἕξις μὲν, ὡς αἱ ἐπιστῆμαι καὶ αἱ ἀρεταί. διάθεσις δὲ, ὡς ὑγίεια καὶ νόσος. τὰ γὰρ δυσέκνιητα, καὶ πολυχρονιώτερα, ἕξεις. τὰ δὲ εὐμετάβλητα, καὶ ὀλιγοχρονιώτερα, διαθέσεις. Δύναμις δ', καὶ ἀδυναμία. σκληρότης, καὶ μαλακότης. καὶ ὑγιεινὸν καὶ νοσερὸν σῶμα. δύναμιν γὰρ ἔχει τὸ ὑγιαίνειν. καὶ ἀδυναμία τὸ αὐτὸ τοῦτο νοσερόν. καθ' ἣν καὶ δρομικὸς καὶ πυκτικὸς λέγεται δυνάμιν λέγομεν, ὃ δὲ ἔχει, τὸς δυναμένους μόνον δηλονότι δραμεῖν καὶ πυκτεύειν, ἢ τὸς ἐνεργοῦντας κατ' αὐτάς. Πάθος, καὶ παθητικὴ ποιότης. πάθος μὲν, τὸ εἰς καιρὸν συμβαῖνον καὶ εὐμετάβολον. παθητικὴ δὲ ποιότης, ἢ ἀκρότητα σωματικῶν συμπτωμάτων, ἢ παθῶν δυσκινήτων συμβαίνον, καὶ διὰ βίου πολλάκις παραμένον. ὅτι ἀπὸ μὲν τοῦ πάθους, ἃ λεγόμεθα ποιοί. ἃ δ' ἂν ἐπὶ αἰσχυνθεὶς ἐρυθριάσειν, ἐρυθρὸς καλεῖται. ἃ δ' ἂν ἐπὶ φόβον ὠχριάσειν, ὠχρὸς καλεῖται. ἀπὸ δὲ τ παθητικῆς ποιότητος παρωνομάζομεθα, οἷον ὀργίλος, ἢ πρᾶος, ἀπὸ μὲν τοῦ διαθέσει πάθος καιρικῶς ὀργισθεὶς, ἢ ὁ διὰ φόβον πρᾳυνθεὶς, ἀλλ' ὁ διόλου ἔχων τὸ πάθος. Τέταρτον δὲ εἶ-

θρωπος λέγεται. καὶ τῶν μὲν αὐθις ὅλων, τῶν δὲ, μερῶν. ὡς ὁ ἄνθρωπος, καὶ ἡ αὐτοῦ χεὶρ ἡ καθόλου. καὶ ὁ σωκράτης, καὶ ἡ χεὶρ αὐτοῦ, ἥτις καὶ τίς χεὶρ λέγεται. ὧν μὲν τῶν ἄλλων οὐκ εἰσάγονται τὰ πρός τι εἰς ὁρισμόν, οἷον, ὅσα αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων εἶναι λέγεται. ὅτι δὲ ὁ τίς ἄνθρωπος, τινὸς τίς ἀνθρώπου λέγεται. ὅτι καὶ ἡ τίς χεὶρ, τινὸς τίς χεὶρ λέγεται. ἀλόλειπον γάρ ἐστιν. ἀλλ' ὅλου ὁ καθόλου ἄνθρωπος, ἀνθρώπου τινός. ἡ δὲ καθόλου χεὶρ, ἐπεὶ καὶ τίς ἀπ' αὐτῆς λείπει, ὅλου δὲ μερική ἐστιν, ἵνα ἔχῃ καὶ τίς, κινδυνεύει εἶναι πρὸς τὰ πρός τι. καὶ δὲ χεὶρ, τινὸς χεὶρ. μὴ ταῦτα μὲν ἀναγκαίως ἔχει ὁ πρότερος ὁρισμὸς τῶν πρός τι. εἰ δ' ἔστι τὰ πρός τι, οἷς καὶ εἶναι ταυτόν ἐστι καὶ πρός τι πως ἔχειν, εὔδηλον ὡς ὁ εἰδὼς τὴν χεῖρα, εἴσεται καὶ τίνου χεὶρ αὕτη, ὡς ἀνθρώπου. ἀλλ' οὐκ ἐξ ἀνάγκης ἐστὶν. δύναται γάρ τις κεκαλυμμένου ὄντος τοῦ παντὸς σώματος, εἰδέναι τὴν χεῖρα. καὶ ὁ εἰδὼς μεῖζον, εἴσεται καὶ τίνος μεῖζον. εἰ δ' ἀορίστως ἐλάττονος μεῖζον, σοφισμὸς ἐστὶν, καὶ οὐκ ἐπίσταμαι. ἄδηλον γὰρ μεῖζον, εἰ ἔτυχεν ἄλλου τοιούτου, καὶ ὁ εἰδὼς κάλλιον, εἰδὲ καὶ οὐ κάλλιον. εἰ δὲ χείρονός τινος ἀορίστως, οὐκ ἐπίσταμαι ἐστὶν. οὐδὲ γὰρ εἰ ἔτυχε χεῖρον αὐτοῦ.

κεφάλαιον.

συνεχὴς δὲ, γραμμὴ, ὠδὶ φάναι, σῶμα, τόπος, ἢ χρόνος. ὅτι δὲ ἡ λόγος ποσὸν, μαρτυρεῖ τὸ καταμετρεῖσθαι τοῦτον βραχείᾳ καὶ μακρᾷ συλλαβῇ. κατ' ὠδὶ διαίρεσιν δὲ πάλιν τοῦ ποσοῦ, τὰ μὲν ἐκ θέσιν ἔχοντων πρὸς ἄλληλα τὴν ἀναύξεις μορίων συνέστηκε. τὰ δὲ οὔ. καὶ τὰ μὲν ἔχοντα ἐν τοῖς μορίοις τὴν θέσιν, εἰσὶν γραμμὴ, καὶ ὠδὶ φάναι, σῶμα, καὶ τόπος. τὰ δὲ μὴ ἔχοντα, ἀριθμὸς, ἢ λόγος, καὶ χρόνος. ἢ ταῦτα μὲν εἰσι τὰ κυρίως ποσά. ὧν δὴ τὰ συνεχῆ, καὶ εἰς ἄπειρα διαιρετά εἰσι. καὶ τὰ μὲν διωρισμένα, ἔχουσι δὲ πολύ, καὶ δ' ὀλίγον. τὰ δὲ συνεχῆ, οὐ μέγα, ἢ τὸ μικρόν. λέγεται δὲ καὶ τὸ πολὺ λευκὸν, ἀλλ' οὐκ ἔστι ποσὸν δ' λευκὸν, ἀλλὰ καταχρηστικῶς διὰ τὸν τόπον. καὶ μακρὰ πρᾶξις, διὰ τὸν χρόνον, ποσὰ ὄντα. ὅτι δὲ ἢ τοῦ ποσοῦ ἴδιον, δ' ἴσον τε καὶ ἄνισον. ὃ δὴ καὶ ὠδὶ συνεχοῦς, καὶ ὠδὶ διωρισμένου ἐστίν.

Κεφάλαιον. γ'.

ΡΟΣΤΙ δ' ἐστὶν, ὅσα αὐτὰ ἀπορ' εἰσι, εἰπέ-
Γ ρων εἶναι λέγεται καὶ πλάτωνα. κατὰ δὲ ἀριστοτέλη, οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τι πως ἔχειν. εἰ γὰρ τοῦ πρότερου ὁρισμοῦ, συγχωρεῖς ἐστι πᾶσαν οὐσίαν εἰκφυγεῖν τὰ πρός τι. εἰ δὲ τοῦ λυτροῦ, πᾶσα οὐσία τῷ πρός τι ἀκροκινίζεται. τῶν δ' οὐσιῶν τῶν μὲν, καθόλου, οὐσῶν, τῶν δὲ, μερικῶν, ὡς ἄνθρωπος, καὶ σωκράτης, ὃς καὶ τὶς ἄν-

ἔχουσιν, ἢ τὸ δέ τι. ὁ μὲν γὰρ πλάτων τὸ τόδε τι καὶ εἶναι ἔχειν φησὶ, διότι αὐθυπάρκτους αὐτὰς οἶδε, καὶ πρὸ τῶν ἄλλων. ἀριστοτέλης δὲ τὸ τοιόνδε μᾶλλον ἔχειν ταύτας δοξάζει. φησὶ γάρ, ἰδέα γάρ ἐστιν ἡ ὕστερα, ἃ δὴ εἶναι. ἔτερον ἴδιον, ὃ μὴ δὴ αὐταῖς ἐναντίον. ἀλλ' ὁμόνων τῶν οὐσιῶν. ὅτι δὲ ἴσον καὶ τῶν ποσῶν. ᾧ δὲ διπήχει, τῇ δὲ τεῖα, καὶ τῷ δίκα, δὴ ὅτι ἐναντίον. κυρίως δὲ ἴδιον οὐσίας τὸ ταὐτὸν τῇ ἓν ἀριθμῷ ὄν, τῶν ἐναντίων εἶναι δεκτικόν. ὁ γὰρ αὐτὸς ἄνθρωπος, ποτὲ μὲν νοσεῖ, ποτὲ δὲ ὑγιαίνει. τῇ γὰρ αὐτῇ τῇ μιᾷ ψυχῇ, ποτὲ μὲν ὠφελία, ποτὲ δὲ φαύλη. ὡθεὶ δὲ τῇ ὁ λόγος τῇ ἡ δόξα ταῦτ' ἔχειν ἐνδοπλάσει. καθημένου δέ τινος, δοξάζω. εἴπε μὲν τῇ λέγω ὅτι ὁ δεῖνα κάθηται, τῇ ἀληθεύω. εἶτ' ἀνάσαντος, ὁ λόγος τῇ ἡ δόξα ψεύδεις γίνονται. διὰ ταῦτα, διαφόρου τοῦ πράγματος ὄντος ἐν τούτοις. οὐδὲ δὲ ὁ λόγος ἢ ἡ δόξα μεταβάλλει εἰς τὸ ἐναντίον, ἀλλὰ τοῦ πράγματος μεταβάλλοντος, ταῦτα δεχόμενα τὰς μεταβολὰς λαμβάνειν. πρόσκειται καὶ τὸ κατὰ τὸν αὐτὸν μεταβολῇ. ὡς ἴδιον οὐσίας πρὸς τὰς λοιπὰς κατηγορίας τὸ, ταὐτὸν καὶ ἓν ᾧ ἀριθμῷ, κατὰ τὴν αὐτῆς μεταβολὴν δεκτικὸν τῶν ἐναντίων εἶναι.

Κεφάλαιον. β'.

Τὸ δὲ ποσὸν τὸ μὲν ὅτι συνεχὲς, τὸ δὲ διωρισμένον. διωρισμένα μὲν, ἀριθμὸς καὶ λόγος.

συνεχῆ

ἢ μήτε ἐν ὑποκειμένῳ ἐστὶν (οὐσία δὲ) ἔστι καθ' ὑποκειμένου λέγεται, μερικὴ δὲ. τῶν δὲ μερικῶν οὐσιῶν, ὡς ἀνθρωπικὸν ἢ λευκὸν ὑποκειμένου πρώτων τὰ ἐν ὑποκειμένῳ πρώτως, καὶ κυριώτατα, καὶ μάλιστα οὐσίαν κέκληκεν ὁ ἀριστοτέλης. δευτέρας δὲ οὐσίας, τὰ γένη καὶ τὰ εἴδη φησὶ, ἢ μᾶλλον τῶν γενῶν τὰ εἴδη. τὸ γὰρ προσεμφέρον ἧ μάλιστα, μᾶλλον ἢ τὸ περιέχον. ταῦτα δέ φησι διὰ τὸ πλάτωνα, μᾶλλον οὐσίαν καὶ πρώτως τὰς ἰδέας λέγοντα, ἃ ἐστι τὰ γένη, ἢ τὰ εἴδη. ἃς δὴ ἰδέας τινὲς διεφθείρασιν, ὡς ὄντας δημιουργικοὺς λόγους τῶν ὄντων παρὰ ᾧ δημιουργῷ. καὶ τὸ δ' ἐστὶ τὸ λεγόμενον, ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα. ἴδιον δὲ πασῶν τῶν οὐσιῶν, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἀλλ' ἐστὶ καὶ ἢ τῶν διαφορῶν. ὥς τι πασῶν μὴ τῶν οὐσιῶν, καὶ ἴδιον. τὸ μόνων δὲ, ὥσπερ καὶ τὸ δίπουν ᾧ ἀνθρώπῳ. ἕτερον ἴδιον, τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι. καὶ δὲ, ὅτι πασῶν. ἢ δὲ πρώτη οὐσία τὸ κατά τινος κατηγορεῖται. ὅτι μόνων. ὑπάρχει δὲ καὶ ταῖς διαφοραῖς. συνωνύμως δὲ καὶ αὗται κατὰ τῶν μετεχόντων λέγονται. ὥσπερ τὸ λογικὸν κατὰ τοῦ ἀνθρώπου. ἄνθρωπος δὲ λογικὸς, καὶ λόγῳ κεχώμενός ἐστιν. ἕτερον. ὅτι καὶ οὐσία τὸ δέ τι σημαίνει. τὸ δὲ τοιόνδέ τι, ὡς τὰ συμβεβηκότα. πλὴν ὅτι πασῶν καὶ καὶ τῶν οὐσιῶν. αἱ δὲ δεύτεραι οὐσίαι, τὸ τοιόνδέ τι μᾶλλον

Κεφάλαιον. Α'.



Ε Κ Α δὲ ἢ αἱ κατηγορίαι ὅσαι, ὁμωνύμως αἱ πᾶσαι σημαίνονται, ἢ μιᾷ ἀφ' ἑνὸς τῆς οὐσίας ὡς τὰ ἀφ' ἑνός, ὁμώνυμα δέ εἰσιν, ὧν τὸ ὄνομα κοινόν, ὁ δὲ κατὰ τοῦτο ὀνόματος λόγος τῆς οὐσίας ἕτερος. οἷον ζῷον, ὅ τε ἄνθρωπος καὶ ἡ γεγραμμένον. συνώνυμα δέ, ὧν τό τε ὄνομα, καὶ ὁ κατὰ τοῦτο ὀνόματος λόγος ὁ αὐτός. οἷον ἵππος καὶ ἄνθρωπος. εἰ γὰρ ἑκάτερον ἑτέρου λόγον ἔχει, ἀλλ' ὅμως ὁ κατὰ τὸ κοινὸν αὐτῶν ὄνομα, ὁ αὐτός ἐστι. ζῷα δὲ καὶ ἀμφότερα, καὶ τὸν τοῦ ζῴου ἔχουσιν ὁρισμόν, οὐσία ἔμψυχος αἰσθητική. Πολυώνυμα δὲ τὰ ὑπὸ μιᾶς ὑποκείσει πολλὰ ὑπὸ φορόμενα ὀνόματα. οἷον ἄνορ, ξίφος, ἀκάνθη. Ἑτερώνυμα δὲ, τὰ μήτε ὀνόματος κοινωνοῦντα, μήτε πράγματος. οἷον ζῷον, καὶ ἐπιστήμη. ἃ δὴ καὶ ἑτερογενῆ λέγονται, ὧν ἕτερα ᾧ εἶδει καὶ αἱ διαφοραί. ζῴου δὲ αἱ διαφοραί, ὁ λογικὸν καὶ ὁ ἄλογον, καὶ ὁ θνητὸν καὶ ὁ ἀθάνατον. ἐπιστήμης δὲ, ὁ θεωρητικὸν καὶ ὁ πρακτικόν. εἰσὶ δὲ αἱ τοιοῦται κατηγορίαι, καὶ ἁπλᾶ τινα πράγματα, μήτε ἀλήθειαν μήτε ψεῦδος ἐν ᾧ λέγεσθαι δηλοῦντα, μόνον δὲ πράγματα σημαίνοντα. διὰ τοῦτο καὶ ἀντὶ στοιχείων παραλαμβάνονται, καὶ ὅροι λέγονται. ὧν, πρώτη ἡ οὐσία, εἰς ἣν ἀνάγονται πᾶσαι αἱ οὐσίαι.

τὸ ἀναίσθητον, τὸ λογικὸν ἢ τ' ἄλογον, τ' θνητὸν ἢ τ' ἀθάνατον. συζυγίαι δὲ, αἱ συνισῶσαι εἴδη συναίμα ὡς γίνεται. ἡ δὲ οὐσία ἐστὶ πρόσληψις τὸ ἄψυχον καὶ τὸ ἀναίσθητον, τὸν λίθον ἀπεργάσατο. τ' δὲ ἔμψυχον, καὶ τὸ αἰσθητικὸν, τὰ ζῶα. τὸ [redacted]ψυχον ἢ τὸ ἀναίσθητον, τὰ φυτά. ὁμοίως ἢ τὸ ζῶον, πρόσληψις τ' λογικὸν καὶ τὸ ἀθάνατον, τὸν ἄγγελον ἀπεργάζεται. τ' λογικὸν καὶ τὸ θνητὸν, τὸν ἄνθρωπον. τ' ἄλογον καὶ τ' θνητὸν, τὰ λοιπὰ τῶν ζώων. τ' ἀθάνατον ἢ τ' ἄλογον, οὐ τὸν μῦθον, οἷον σκύλλαν. ὃν λέγει ὅμηρος, ἀλλ' ἀθάνατον κακόν ἐστιν. τὸ ἴδιον δὲ τελαχῶς λέγω. ἢ ὃ παντὶ ὡς εἴδει ὑπάρχει, ὃ μόνῳ δὲ, ὡς τ' δύνασθαι ὡς ἀνθρώπῳ. ἢ ὃ μόνῳ μὲν, ὃ παντὶ δὲ, ὡς τ' γραμματεῖν ὡς ἀνθρώπῳ. ἢ ὃ καὶ μόνῳ καὶ παντὶ, ὄχ ἀεὶ δὲ, ὡς τ' πολιτεύεσθαι τὸν ἄνθρωπον. ἢ ὃ καὶ μόνῳ ἢ παντὶ ἢ ἀεὶ, ὡς τ' γελαστικὸν ὡς ἀνθρώπῳ. εἰ δὲ μὴ ἀεὶ γελᾷ, ἀλλὰ ὡς πεφυκέναι, ἴδιον καὶ ἀεὶ λέγεται. ἢ τὸ ὄντι μόνον τ' ἀντικατηγορούμενον. ἔστι δ' ὄντι ἄνθρωπος, γελαστικὸν. ἢ ἔστι γελαστικὸν, ἄνθρωπος.

Τὸ συμβεβηκὸς δὲ διττῶς ἐκφέρεται. καὶ ὅτι τ' μὴ χωριστὸν, ὡς τὸ καθῆσθαι ἢ ἵστασθαι. τ' δὲ ἀχώριστον, ὡς τ' μέλαν ὡς κόρακι. ὃ δὴ ἢ ὃ πεφυκέναι ὑπάρχειν καὶ μὴ ὑπάρχειν χαρακτηρίζεται, αὐτῷ δὲ μόνῳ ὡς δεκτικῷ.

ΚΕΦΑΛΑΙΟΝ. Ε.

ΤΙ περὶ τούτων. ὁ γένος ὁ γενικώτατον, ὃ περὶ ὃ οὐκ ἔστιν ἄλλο γενικὸς γένος, διαιρεῖται εἰς εἴδη. καὶ τούτων ἕκαστον, εἰς εἴδη, καὶ αὖθις ταῦτα εἰς εἴδη, ἕως ὃ καταταντήσει εἰς τὸ ἰδικώτατον, μεθ' ὃ οὐκ ἔστιν ἄλλο εἶδος, ἀλλ' ἄτομον. ὃ δὲ διαιρεῖται τὸ εἶδος εἰς ἕτερα εἴδη, ἀλλ' εἰς ἄτομα. ἄτομα δὲ λέγω, διότι τὸ τέμνον, ὅτι εἰς εἴδη, ὅτι εἰς πολλὰ ᾧ ἀριθμῷ, οἷον ὁ σωκράτης, καὶ τοῦτο τὸ λευκόν. λευκὸν δὲ φασὶν οὐσίας μὲν τὰς πρώτας, τὰ ἄτομα, τὰ γένη καὶ τὰ εἴδη. καὶ ὁ μὲν πλάτων, πρὸ τῶν πολλῶν ταῦτα φησίν. ὁ δ' ἀριστοτέλης μετὰ τὰ πολλά, καὶ ἐν τοῖς πολλοῖς. ὑποδείγματος δὲ χάριν, ἔστω ἡ οὐσία. καὶ διαιρεῖσθω εἰς σῶμα, καὶ ἀσώματον. τὸ σῶμα, εἰς ἔμψυχον, καὶ ἄψυχον. τὸ ἔμψυχον, εἰς αἰσθητικὸν, καὶ ἀναίσθητον. τὸ αἰσθητικὸν, εἰς ζῷον, ζωόφυτον, καὶ φυτόν. τὸ ζῷον, εἰς λογικὸν, καὶ ἄλογον. τὸ λογικὸν, εἰς θνητὸν, καὶ ἀθάνατον. τὸ θνητὸν, εἰς τὰ ἰδικώτατα, ἄνθρωπον, ἵππον, κύνα, καὶ τὰ λοιπὰ τῶν ζώων. εἰσὶ δὲ τὰ ἀνὰ μέσον γένη καὶ εἴδη τὰ αὐτά. ἀλλήλων. τῶν μὲν ἀπ' αὐτά, γένη. τῶν δὲ πρὸ αὐτῶν, εἴδη. τῶν δὲ διαφορῶν, αἱ μέν εἰσι διαιρετικαὶ, αἱ δὲ συναιρετικαί. καὶ διαιρετικαὶ μέν, καθ' ἃς διαιροῦνται τὰ γένη εἰς τὰ εἴδη, οἷον τὸ ἔμψυχον, καὶ τὸ ἄψυχον. τὸ αἰσθητικὸν καὶ

μένον. ὡς ἡ ὐσία. σ ζῶον. χ| ἡ ἄνθρωπος ἡ ἵππος καὶ τῶν λοιπῶν ζώων, ἃ ᾧ εἴδει διαφέρουσι, ἡ ὧν ᾧ τί ἐστιν αὐτῶν κατηγορεῖται ὁ ζῶον. Εἰλλ' ὁ χ| πλειόνων καὶ αὐτὸ λεγόμενον, καὶ ὧν ᾧ τί ἐστι κατηγορούμενον, πλὴν διαφόντων ᾧ ἀριθμῷ, ὡς ὁ ἄνθρωπος χ| πέρος καὶ παῦλος οἵτινες ὐ τῷ εἴδει διαφέρουσιν, ἀλλὰ ᾧ ἀριθμῷ.

Διαφορὰ δὲ σ χ| πλειόνων ἡ διαφόντων ᾧ εἴδει, ὧν ᾧ ὁποιόντί ἐστι κατηγορούμενον. ὡς σ λογικὸν, τοῦ ἀνθρώπος, ἡ τοῦ ἀπέλλος, τῶν διαφερόντων ᾧ εἴδει. ἐρωτώμενοι δ', ὁποῖόντί ἐστιν ἄνθρωπος, φαμὲν λογικόν. Ἴδιον δὲ ὁ χ| πλείόνων ἡ διαφόντων ᾧ ἀριθμῷ, πλὴν ὐκ ἔστιν καὶ ὁ ὧν ᾧ τί ἐστι κατηγορεῖσθαι. ἐπισταῖδις γὰρ λέγεται, καὶ ὡδὶ τῇ ὐσίᾳ ὁρᾷ, καὶ πλέον ἔχει ὁ ὧν ᾧ ὁποῖόντί ἐστι, ἢ ὁ ὧν ᾧ τί ἐστιν, ὡς ὁ γελαστικὸν τοῦ ἀνθρώπος κατηγορούμενον. Συμβεβηκὸς δὲ, ὁ χ| πλειόνων ἡ αὐτὸ λεγόμενον καὶ διαφόντων, πᾶ μὲν ᾧ εἴδει, ὡς ὁ μέλαν ἐβένος, καὶ ἄνθρακος, καὶ κόρακος, πᾶ δὲ μόνῳ ᾧ ἀριθμῷ, ὡς σ λευκὸν, ἁπάντων τῶν κύκνων. κατηγορεῖται δὲ καὶ αὐτὸ, ὧν ᾧ ὁποῖόντί ἐστιν, ἢ πῶς ἔχον ἐστίν. ὡδεδὶ γὰρ τὰ παρὰ τὴν ὐσίαν, συμβεβηκότα, τὰ μὲν ἀπὸ μόνων τῶν τ ποιότητος, σ ὁποῖον τί ἐστιν ἔχουσι. τὰ δὲ ἀπὸ τῶν λοιπῶν κατηγορούμενα, ὁ πῶς ἔχον ἐστίν.

Κεφάλαιον.

πρώτης οὐσίας, ὡς τὰ ἀφ' ἑνός, καὶ πρὸς ἓν ὁμωνύμως. μόνη γὰρ κυρίως ἡ οὐσία ὂν ὡς αὐθύπαρχον. ταῦτα δὴ καὶ κατηγορίας φησὶν ὁ φιλόσοφος, ὡς καθολικά τινα, καὶ κατὰ τῶν ὑπ' αὐτὰ λεγόμενα. ἃ δὴ καὶ γένη γενικώτατα λέγουσι. οὐδὲ μὴν ὑπὸ ταῦτα ἄλλα τινά εἰσιν, ὑπὸ ταῦτα δὲ τἆλλα, καὶ ὑπ' ἐκεῖνα ἕτερα, ἕως ἂν εἰς τὰ εἰδικώτατα καταντήσει, μεθ' ἃ οὐκ ἔστιν ἄλλα εἴδη, ἀλλ' ἄτομα, τὰ τῇ αἰσθήσει ὑποκείμενα. χαίρειν γοῦν τούτων καὶ τῶν τοιούτων, προτίθεται πάσης λογικῆς πραγματείας πορφύριος τὰς φωνάς, ὁρμηνεύων τῶν τοιούτων, τί γένος, καὶ τί εἶδος, καὶ τί διαφορά, καὶ τί ἴδιον, καὶ τί συμβεβηκός. αὐτὰς δὴ τὰς φωνὰς ὁρμηνεύων.

Κεφάλαιον. λ'.

ΩΝΑΙ δέ εἰσι πέντε αἱ εἰρημέναι. καί
φ τοιαί ἔστι καὶ ὅσον ὅσον μέρισκόντι ἡμῖν αἰσθητόν. ἀλλ' ἐπεὶ τὰ μὴ γένη καὶ ἡμῖν καὶ τῇ φύσει δῆλα. δῆλα δὲ τὰ εἴδη τὰ εἰδικώτατα, ἡμῖν μὲν ἄγνωστα, τῇ δὲ φύσει δῆλα, τὰ δὲ ἄτομα καὶ ἡμῖν ἄδηλα καὶ τῇ φύσει ἄγνωστα, παρόρχονται γὰρ καὶ ἄπειρά εἰσι, τῶν δ' ἀπείρων οὐδεμία ἐπιστήμη ἔστιν. διὰ ταῦτα εἰκότως ὅσον, καὶ ποῖόν τι εἰσὶν αἱ φωναί, καθολικοίτινες λόγοι καὶ κατὰ πολλῶν λεγόμενοι. γένος δὲ ἐστὶ πολλῶν καὶ διαφόρων ᾧ εἶδει ἐν ᾧ τί ἐστι λεγό-

πρακτικῆς, τὸ μὲν, ἠθικήν, τὸ δὲ, οἰκονομικήν, τὸ δὲ, πολιτικήν. ἐν τούτοις δὲ πᾶσι τοῖς μέρεσιν ὁ φιλόσοφος ἀριστοτέλης τῷ αὐτῷ πραγματείαν ἐβήσατο, διαφόροντως δὲ ἐν τοῖς φυσικοῖς. τὸ μὲν τοιγε λογικὸν οὐ μέρος τῆς φιλοσοφίας φησὶν, ἀλλ' ὄργανον μᾶλλον. ὥσπερ δὲ ἐν τοῖς λοιποῖς, οὐ ὄργανον οὐκ ἔστι τῆς τέχνης τῆς χρωμένης αὐτῷ. οὐδὲ τὸ σκέπτανον μέρος τῆς οἰκοδομικῆς, μέρη γὰρ ταύτης κτιστικὴ καὶ ξυλουργική, οὕτως οὐδὲ τῆς φιλοσοφίας ἡ λογικὴ μέρος, ἀλλ' ὄργανον. ὄργανον γάρ ἐστιν ὁ ἀποδεικτικὸς συλλογισμός, δι' οὗ, ἢ καταskευάζει, ἢ ἀναskευάζει ὁποιονδήποτε πρόβλημα. συλλογισμὸς δὲ, ὁ μὲν ἐξ αὐτοπίστων καὶ πιθανῶν, ἀποδεικτικός. ὁ δὲ ἐξ ἐνδόξων, διαλεκτικός. ὁ δὲ ἐκ φαινομένων ἐνδόξων, σοφιστικός. πᾶς δὲ συλλογισμὸς, δύο προτάσεις ἔχει, καὶ τρεῖς ὅρους τὰλάχιστον. συλλογισμὸς γάρ ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων συμβαίνει διὰ ταῦτα εἶναι. ὥσπερ δὲ παντὸς λόγου στοιχεῖα τὰ γράμματα, ἐκ δὲ τῶν γραμμάτων αἱ συλλαβαί, ἐκ δὲ τῶν συλλαβῶν ὁ λόγος, οὕτω παντὸς συλλογισμοῦ ἀρχέστοιχοι μὲν οἱ ὅροι. ἐκ δὲ τῶν ὅρων, αἱ προτάσεις, ἐκ δὲ τῶν προτάσεων, ὁ συμπέρασμα. πάντες δὲ οἱ ὅροι, εἰς δέκα τινὰ ἀνάγονται. οὐσίαν, ποσόν, ποιόν, πρός τι, πού, ποτε, ποιεῖν, πάσχειν, κεῖσθαι, ἔχειν. ἃ δὴ καὶ ὄντα λέγονται ἀπὸ τῆς

πρώτης

τὰ φύσιν. ὥσπερ γὰρ ἀμπρακιωτικὸν ἐκεῖνο μειράκιον ὁ κλεόμβροτος, ὑπελθὸν γὰρ τὸν πλάτωνος φαίδωνα, καὶ ἀπατηθὲν τεθοίηκε, καὶ ἑαυτὸν καπεχρήμνισεν. Ἔστι δὲ καὶ ὁ λοιπὸς τῆς φιλοσοφίας ὁρισμὸς, ἐκ τοῦ πόρρω τέλος, καὶ ὅδε τοῦ πλάτωνος, ὁμοίωσις θεῷ κατὰ δυνατὸν ἀνθρώπῳ. ὁ δὲ κατ' αὐτὸν ζῶν, οἷός τε τὰς αἰτίας οἶδε τῶν γιγνομένων, οἷς τε πρακτικῶς φιλοσοφεῖ, θεωρίας ὑπεβαίνει καὶ πράξεως. πρᾶξις δ' ὑπόκεισις θεωρίας, καὶ ὃν ἄλλως νοῦς ἐνεργήσειε τιὼ οἰκείαν ἐνέργειαν, εἰ μὴ καθαρθείη τῇ πράξει. ἄμφω δὲ ὄργανα φιλοσοφίας καὶ τέλη, τὰ πόρρω πόρρω τε καὶ δυσβατώτερα, εἴπερ τις ἄνθρωπος θεὸς ἢ καὶ θεὸς γίνεται. καὶ ἔστω τελεία μὲν ἡ φιλοσοφία ὅσα, καὶ τὸν τέλειον ἀριθμὸν τοὺς ὁρισμοὺς ἔχει. τέλειος δὲ ὁ ἐξ, ὁ τοῖς οἰκείοις ἀπαρτιζόμενος μέρεσι. τρία δ' ἐστὶ τοῦ ἡμισυ, καὶ δύο δ' τρίτον, καὶ ἓν τὸ ἕκτον. ἅπερ δὴ συμπεσόμενα, τὸν ἀφαρχῆς ἐξ ἀποτελοῦσι, μέσον τοῦ ἐλλιποῦς τε καὶ ὑπερτελοῦς.

Κεφάλαιον. Γ.

ΤΗΣ γοῦν φιλοσοφίας, τὸ μέν ἐστι θεωρητικὸν, τὸ δὲ πρακτικόν. ὧν τὸ μέν, τέλος ἐστὶν ἀλήθεια, τοῦ δὲ, ἀγαθόν. τοῦ μὲν τοι γε θεωρητικοῦ, τὸ μὲν φυσικόν, τὸ δ' ὑπέκεινα θεολογικόν, τὸ δὲ μέσον τούτων μαθηματικόν. τοῦ δὲ

καὶ ἄλλοι πάσαρες ὁρισμοὶ τῆς φιλοσοφίας, δύο μὲν ἐκ τῆς ἐπωνυμίας, δύο δ' ἐκ τέλους. διττὸν δὲ καὶ τὸ ὑποκείμενον ἑκάστης ἐστί, διττὸν καὶ ὁ τέλος καθέστηκεν. οἷον ἔστω ἐπὶ ναυπηγικῆς ὁ λεγόμενον δῆλον. ταύτης δὲ ἐπωνύμια τὰ ξύλα. ἀλλ' εἰ μὲν τὰ ἀπλῶς ξύλα, προσεχῆ ἐπωνύμια. πρόχειρα δὲ τὰ ζητούμενα. εἰ δὲ τὰ ῥυΐνα τυχόν, πόρρω. δεῖ γὰρ πραγματείας τινὸς καὶ ὡσαύτως, πρὸς τὸ ταῦτα εἶναι. ὁμοίως καὶ ἐπὶ τοῦ τέλους. εἰ μὲν ἁπλῶς πλοίου ποίησις, προσεχὴς ὁ πλοῦς. εἰ δὲ λεμβαδίου τυχόν, ἢ ἁλιέως, πόρρω. ὁ δὲ διχῶς ἐστόν, καὶ προσεχὲς καὶ διχῶς ἐστόν. ὅτῳ μοι νόει καὶ ἐπὶ φιλοσοφίας. καὶ ἔστιν ἐκ τῆς ἐπωνυμίας μὲν προσεχὴς ὁρισμὸς τοῦτος, γνῶσις τῶν ὄντων ἢ ὄντα ἐστίν. ὁδὶ δὲ καθὸ γραμμή, καὶ καθὸ ἀριθμός, ἀλλὰ καθὸ ὂν ὁ ζητούμενον, κἂν θεῖον ᾖ, κἂν ἀνθρώπινον. θεῖον δὲ πάντως ἡ θεία οὐσία. ἀνθρώπινον δὲ, ὁ ἐν γενέσει καὶ φθορᾷ. Ἐξ ἐπωνυμίας δὲ πόρρω, ἕτερος ὁρισμὸς τῆς φιλοσοφίας ἐστί, γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. τούτων δὲ, τὰ ἁπλῶς ἐν γενέσει προσεχοῦντα. ὡσαύτως καὶ ἐπὶ τῶν τελῶν. μελέτη γὰρ θανάτου ὁ προσεχὴς τέλος τῆς φιλοσοφίας ἐστί. καὶ ὁ ἐντεῦθεν ὁρισμὸς τοῦ προσεχοῦς καὶ διχῶς τέλος ἐστί. πολλοῖς δὲ μελέτη θάνατος, ὥστε νεκροὺς εἶναι καὶ ζῶντας ᾧ σώματι, ὁ μὲν δὲ ὁ κατὰ φύσιν,

ὐχ ὅτι τέχνη ἡ φιλοσοφία, ἀλλ' ὅτι τέχναις ὠφελίμοις ἐοικέναι τὸ τούτων ὄνομα. ὠφελιμωτέρα μὲν οὖν, καὶ μᾶλλον. ὠφελιμωτέρα γὰρ ἡ τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων γνῶσις, ὡς φασὶν ἄγεσθαι τὸ φιλοσοφούμενον. ἔστι δὲ αὕτη ὠφελιμωτάτη ὠφελημάτων. τῶν δ' ἄλλων ὠφελημάτων πολλὰ μορία τινὰ τῶν ὄντων καταγινομένων, γεωμετρίας μὲν πολλὰ μήκη, ἀριθμητικῆς δὲ πολλοὶ ἀριθμοί, ἀστρονομίας πολλὰ ἄστρα, καὶ μουσικῆς πολλοὶ φθόγγοι (ταῦτα δὲ τὰ ὄντα) ἄντικα πολλὰ τὰ ὄντως ὄντα καταγίνει). ἡ δ' ὄντως, ζητεῖ τὰ ὄντα, καὶ ὐχ ἡ γραμμὰς ἢ ἀριθμούς. ὁ μὲν δὴ καὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν, ἃ δ' τέχνης εἰσὶν ὑποκείμενα τὸ παράπαν περιορᾷ, ὃ δ' ἕξεως πολλάκις, καὶ ταῦτα ζητοῦσαι, καὶ ἀφαλέχνυσθαι. καὶ ἔστιν ὁ λοιδορος ὅμοιος τῶν ὀρισμῶν ὃς ὑπερορᾷς. καλῶς δ' καὶ πλάτων ἔλεγεν, ὡς ὅς τις ταύτης μὴ ὑποδορᾷ, τῶν λοιπῶν δὲ φρονίζῃ, ὀλίγον ἀπέοικε τῶν δ' πωλοπώλης μυκτήρων, οἱ μὴ δυνάμενοι τῆς διανοίας, ταῖς θεραπαινίσι συνεγίγνονται. ἐπεὶ δὲ καὶ αὕτη ὡς ὠφελιμώτατα ὑποκείμενα ἔχει καὶ τέλος, ὥσπερ καὶ ἑκάστη τῶν ὠφελημῶν καὶ τεχνῶν, τὰ δ' ἰατρικῆς ὑποκείμενα τὰ ἀνθρώπινα σώματα, καὶ τέλος ἡ τούτων ὑγεία. καὶ τῶν λοιπῶν ὑποκείμενα καὶ τέλη εἰσὶ τὰ προσήκοντα, ὡς ἂν καὶ πολλὰ ἀποδέξασιν ἔχοιεν, καὶ πρὸς ὃ ἀποβλέποιεν, γνωσὸν εἴη ἵνα μὴ ματαίως ἀποδέξοιεν. γίνονται

ται, καὶ τὴν ἀπόδειξιν σέφυγεν, ὅτι πῶς μαγνῆτις ἕλκει τὸν σίδηρον. πῶς τὰ ἄχυρα ἕλκεται. πῶς ἀδάμας αἵματι τραγείῳ καὶ σιδήρῳ μαλάσσεται. πῶς ἀντιπαθεῖ μαγνῆτις τῆς ἐλίκης ἄστρῳ. καὶ ἄλλα μυρία, ὧν αἱ αἰτίαι φανεραὶ μὲν τῷ δημιουργήσαντι, ἡμῖν δὲ κεκρύφαται. εἰσὶ δέ τινα καὶ αὐτόγνωτα, ὥσπερ ἀλόησις ἄλλα, ὅτως ἀνθρώποις αἱ ἄμεσοι προτάσεις ἴσως αἰτίαν ἄλλην προτέραν. ὁδὲ ἀρχὴν τῆς ἀρχῆς εἰς ἄπειρον ζητεῖσθαι καλόν, εἴπερ μέλλει ἀπόδειξιν σώζεσθαι. θαυμάζοντες τοίνυν ἐφ' ἑκάστῳ τῶν πραττομένων, ζητοῦσιν ἄνθρωποι. καὶ τὴν αἰτίαν εὑρόντες, πάλιν ἐν ἀπορίᾳ γίνονται θαυμαστῇ πολὺ τῆς προτέρας, καὶ τὴν παροιμίαν, θαυμασιωτέρᾳ τε καὶ ἀμείνονι, εἴ τις ἄλλό τι τίς εἴποι, σὺν τῷ ὅσον ἡ φιλοσοφία εὕρηκεν.

Κεφάλαιον. β'.

ΣΤΙ τοίνυν φιλοσοφία, καὶ μὴ τὸν πυ-
Ε θαγόραν, φιλία σοφίας. ὅθεν γὰρ εὑρὼν σὺν τὸ τῆς σοφίας ὄνομα λεγόμενον, ὡς ὁ σοφὸς ἤρξε τέκτων, συνείλας τὸ ὄνομα, τῷ τῶν ὄντων γνῶσιν σοφίαν ἐκάλεσε. τὴν δὲ ταύτης ὄρεξιν καὶ μετάδοσιν, φιλοσοφίαν ὠνόμασε. καὶ ἔστι κατ' αὐτὸν ἐξ ἐτυμολογίας φιλοσοφία, φιλία σοφίας. Ἀριστοτέλης δὲ τέχνην τεχνῶν, καὶ ἐπιστήμην ἐπιστημῶν αὐτὴν ὠρίσατο, οὐχ ὅτι

Cat. mss. Gr.

ΓΕΩΡΓΙΟΥ ΔΙΑΚΟΝΟΥ ΓΡΩΤΕΚΔΙΚΟΥ ΚΑΙ ΔΙΚΑΙΟΦΥΛΑΚΟΣ ΤΟΥ ΓΑΧΥΜΕΡΟΥΣ ΕΠΙΤΟΜΗ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΛΟΓΙΚΗΣ.

ΤΙΤΛΟΣ ΠΡΩΤΟΣ. ΚΕΦΑΛΑΙΟΝ. Α.

M. Rom. Θεοίμιον. Sonit Jean

ΕΝΝΑΤΑΙ παρὰ κοσόλῳ μὴ ἴεις τῷ θαύμαντι. μὴ ἔστιν ὁ μὲν θαύμας, ἡ ἐφ' ἑκάστῳ τῇ πραττομένων ἐν τοῖς οὖσι τῇ ἀληθῶν ἀνδρῶν ἀφεία, μὴ ὁ θαυμασμὸς πῶς ταῦτα γίνε). ἡ δὲ ἴεις, ἡ περὶ ταῦτα ζήτησίς τε μὴ γνῶσις, καθ' ἣν, ἐκ τῦ πολλάκις ἀπορεῖν, ἡ δύποεία γίνεται. εἰ μὴ τ' ἀπορήσει τις, ἐκ ἂν γένοιτό ποτε ζήτησις. εἰ δὲ μὴ ζητήσει, ἐκἂν ποτε εὕροι. διὰ ταῦτα ἡ φιλοσοφία ὥσπερ τι θεῖον δῶρον, καὶ οἷ' ἔθ' ἥκειν, ἔθ' ἥξει παρὰ θεῦ τοῖς ἀνθρώποις, ὅτι τινι θείᾳ κατεπέμφη μοίρᾳ, νοῦς τις μακαρία ἐνέργεια ἔσται, καὶ ἀσχολία πασῶν σωματικῶν ἀσχολιῶν ὑπερτέρα, τὰς αἰτίας ζητοῦσα τῶντ' ὄντων, τῶντε γινομένων, καὶ ἔτι τ' δυνατὸν ἐφευρίσκουσα. εἰ καί τινα ἀρρήτῳ φύσεως νόμῳ γίνε-

~~Hic liber est Sancti Benedicti~~

S

coll. Rom. quae olim Cat. [illegible] Cr

L 1

ΓΕΩΡΓΙΟΥ ΔΙΑΚΟΝΟΥ ΓΡΩΤΕΚ-
ΔΙΚΟΥ ΚΑΙ ΔΙΚΑΙΟΦΥΛΑΚΟΣ
ΤΟΥ ΓΑΧΥΜΕΡΟΥΣ ΕΠΙΤΟΜΗ
ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΛΟΓΙΚΗΣ.

14-24-16

B. 5.

PARISIIS
Apud Vascosanum, uia Iacobea, ad insigne Fontis.
M. D. XLVIII.
CVM PRIVILEGIO REGIS.